## SOPHOCLE

### *Antigone*

Document 22

Ἰσμήνη.
Τί δ᾽, ὦ ταλαῖφρον, εἰ τάδ᾽ ἐν τούτοις, ἐγὼ
λύουσ᾽ ἂν εἴθ᾽ ἅπτουσα προσθείμην πλέον ;
Ἀντιγόνη.
Εἰ ξυμπονήσεις καὶ ξυνεργάσει σκόπει.
Ἰσμήνη.
Ποῖόν τι κινδύνευμα ; Ποῦ γνώμης ποτ᾽ εἶ ;
Ἀντιγόνη.
Εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
Ἰσμήνη.
Ἦ γὰρ νοεῖς θάπτειν σφ᾽, ἀπόρρητον πόλει ;
Ἀντιγόνη.
Τὸν γοῦν ἐμὸν καὶ τὸν σόν ἢν σὺ μὴ θέλῃς
ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ᾽ ἁλώσομαι.

Document 23

Κρέων.
Σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
Ἀντιγόνη.
Ὁρῶσι χοὖτοι, σοὶ δ᾽ ὑπίλλουσιν στόμα.
Κρέων.
Σὺ δ᾽ οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς ;
Ἀντιγόνη.
Οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
Κρέων.
Οὔκουν ὅμαιμος χὠ καταντίον θανών ;
Ἀντιγόνη.
Ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
Κρέων.
Πῶς δῆτ᾽ ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;
Ἀντιγόνη.
Οὐ μαρτυρήσει ταῦθ᾽ ὁ κατθανὼν νέκυς.
Κρέων.
Εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
Ἀντιγόνη.
Οὐ γάρ τι δοῦλος, ἀλλ᾽ ἀδελφὸς ὤλετο.
Κρέων.
Πορθῶν δὲ τήνδε γῆν· ὁ δ᾽ ἀντιστὰς ὕπερ.
Ἀντιγόνη.
Ὁμῶς ὅ γ᾽ Ἅιδης τοὺς νόμους τούτους ποθεῖ.
Κρέων.
Ἀλλ᾽ οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.
Ἀντιγόνη.
Τίς οἶδεν εἰ κάτωθεν εὐαγῆ τάδε ;
Κρέων.
Οὔτοι ποθ᾽ οὑχθρός, οὐδ᾽ ὅταν θάνῃ, φίλος.
Ἀντιγόνη.
Οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.

Document 24

Ἰσμήνη.
Τί ταῦτ᾽ ἀνιᾷς μ᾽ οὐδὲν ὠφελουμένη ;
Ἀντιγόνη.
Ἀλγοῦσα μὲν δῆτ᾽εἰ γελῶ γ᾽ ἐν σοὶ γελῶ.
Ἰσμήνη.
Τί δῆτ᾽ ἂν ἀλλὰ  νῦν σ᾽ ἔτ᾽ ὠφελοῖμ᾽ ἐγώ ;
Ἀντιγόνη.
Σῶσον σεαυτήν· οὐ φθονῶ σ᾽ ὑπεκφυγεῖν.
Ἰσμήνη.
Οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
Ἀντιγόνη.
Σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.
Ἰσμήνη.
Ἀλλ᾽ οὐκ ἐπ᾽ ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
Ἀντιγόνη.
Καλῶς σὺ μὲν τοῖς, τοῖς δ᾽ ἐγὼ ᾽δόκουν φρονεῖν.
Ἰσμήνη.
Καὶ μὴν ἴση νῷν ἐστιν ἡ ᾽ξαμαρτία.
Ἀντιγόνη.
Θάρσει·  σὺ μὲν ζῇς, ἡ δ᾽ ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
Κρέων.
Τὼ παῖδε φημὶ τώδε τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ᾽ ἀφ᾽ οὗ τὰ πρῶτ᾽ ἔφυ.
Ἰσμήνη.
Οὐ γάρ ποτ᾽, ὦναξ, οὐδ᾽ ὃς ἂν βλάστῃ μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ᾽ ἐξίσταται.
Κρέων.
Σοὶ γοῦν, ὅθ᾽ εἵλου σὺν κακοῖς πράσσειν κακά.
Ἰσμήνη.
Τί γὰρ μόνῃ μοι τῆσδ᾽ ἄτερ βιώσιμον ;
Κρέων.
Ἀλλ᾽ ἥδε μέντοι μὴ λέγ᾽· οὐ γὰρ ἔστ᾽ ἔτι.